1

ἰσοκράτους λόγος πρὸς νικοκλέα.

Εἰ μὲν εἰωθότες, ὦ νικόκλεις, ὑμῖν τοῖς βασιλεῦσιν ἐσθῆτας ἄγειν, ἢ χαλκὸν ἢ χρυσὸν εἰργασμένον, ἢ ἄλλο τι τῶν τοιούτων κτημάτων, ὧν αὐτοὶ μὲν ἐνδεεῖς εἰσιν, ὑμεῖς δὲ πλουτεῖτε, λίαν ἐδόξαν εἶναι μοι καταφανεῖς, οὐ δόσιν· ἀλλ᾽ ἐμπορίαν ποιούμενοι, καὶ πολὺ τεχνικώτερον αὐτὰ πωλοῦντες, τῶν ὁμολογούντων καπηλεύειν, ἡγησάμην δ᾽ ἂν ταύτην καλλίστην εἶναι δωρεάν, καὶ χρησιμωτάτην· καὶ μάλιστα πρέπουσαν· ἐμοί τε δοῦναι, καὶ σοὶ λαβεῖν, εἰ δυνηθείην ὁρίσαι, ποίων ἐπιτηδευμάτων, ὀρεγόμενος· καὶ τίνων ἔργων ἀπεχόμενος, ἄριστ᾽ ἂν· καὶ τὴν πόλιν καὶ τὴν βασιλείαν διοικοίης· τοὺς μὲν γὰρ ἰδιώτας, ἐστὶ πολλὰ τὰ παιδεύοντα· καὶ μάλιστα μὲν τὸ μὴ τρυφᾶν, ἀλλ᾽ ἀναγκάζεσθαι περὶ τοῦ βίου· καθ᾽ ἑκάστην ἀγωνίζεσθαι τὴν ἡμέραν, ἔπειθ᾽ οἱ νόμοι καθ᾽ οὓς ἕκαστοι πολιτευόμενοι τυγχάνουσιν, ἔτι δ᾽ ἡ παρρησία· καὶ τὸ φανερῶς ἐξεῖναι· τοῖς τε φίλοις ἐπιπλῆξαι· καὶ τοῖς ἐχθροῖς ἐπιθέσθαι ταῖς ἀλλήλων ἁμαρτίαις· πρὸς δὲ τούτοις, τινὲς καὶ τῶν ποιητῶν τῶν προγεγενημένων, ὑποθήκας ὡς χρὴ ζῆν καταλελοίπασιν· ὥστ᾽ ἐξ ἁπάντων τούτων, εἰκὸς αὐτοὺς βελτίους γίνεσθαι· τοῖς δὲ τυράννοις, οὐδὲν ὑπάρχει τοιοῦτον, ἀλλ᾽ οὓς ἔδει παιδεύεσθαι μᾶλλον τῶν ἄλλων, ἐπειδὰν εἰς τὴν ἀρχὴν καταστῶσιν· ἀνουθέτητοι διατελοῦσιν· οἱ μὲν γὰρ πλεῖστοι τῶν ἀνθρώπων αὐτοῖς οὐ πλησιάζουσιν· οἱ δὲ συνόντες πρὸς χάριν ὁμιλοῦσι· καὶ γάρ τοι κύριοι γιγνόμενοι καὶ χρημάτων πλείστων, καὶ πραγμάτων μεγίστων, διὰ τὸ μὴ καλῶς χρῆσθαι ταύταις ταῖς ἀφορμαῖς πεποιήκασιν· ὥστε πολλοὺς ἀμφισβητεῖν, πότερόν ἐστιν ἄξιον ἑλέσθαι τὸν βίον, τὸν τῶν ἰδιωτευόντων μέν, ἐπιεικῶς δὲ πραττόντων, ἢ τὸν τῶν τυραννευόντων, ὅταν μὲν γὰρ

187 Pal. Gr.

BIBLIOTHECA APOSTOLICA VATICANA

UNIVERSITÄTS-BIBLIOTHEK HEIDELBERG

© Biblioteca Apostolica Vaticana

The Polonsky Foundation

https://digi.ub.uni-heidelberg.de/diglit/bav_pal_gr_187/0007